ἡμῖν μέρος τοῦ ἐνδεχομένου, οὕτως ἡ τύχη τοῦ αὐτομάτου. ἔστι δ᾽ ἑκατέρου ἑκάτερον σύμπτωμα, τὸ μὲν E αὐτόματον τοῦ ἐνδεχομένου, ἡ δὲ τύχη τοῦ ἐφ᾽ ἡμῖν, καὶ τούτου οὐχ ἅπαντος, ἀλλ᾽ ὅπερ ἂν καὶ κατὰ προαίρεσιν ᾖ, ὡς προείρηται (571 d). διὸ καὶ τὸ μὲν αὐτόματον κοινὸν ἐμψύχων τε καὶ ἀψύχων, ἡ δὲ τύχη ἀνθρώπου ἴδιον ἤδη πράττειν δυναμένου. τεκμήριον δέ, ὅτι τὸ εὐτυχεῖν καὶ εὐδαιμονεῖν ταὐτὰ εἶναι δοξάζεται· ἡ δὲ εὐδαιμονία εὐπραξία τις ἡ δ᾽ εὐπραξία περὶ μόνον καὶ τέλειον ἄνθρωπον.

8. Καὶ τὰ μὲν ἐντὸς τῆς εἱμαρμένης τοιαῦτα, τό τ᾽ ἐνδεχόμενον καὶ ⟨τὸ⟩ δυνατόν, ἥ τε προαίρεσις καὶ τὸ ἐφ᾽ ἡμῖν, ἥ τε τύχη καὶ τὸ αὐτόματον, τά τε παρακείμεν᾽ αὐτοῖς ὧν καὶ τὸ τάχα καὶ τὸ ἴσως· ἃ δὴ πάντα περιέχει μὲν ἡ F εἱμαρμένη, οὐδὲν δ᾽ αὐτῶν ἐστι καθ᾽ εἱμαρμένην. λοιπὸν δ᾽ ἂν εἴη καὶ περὶ προνοίας εἰπεῖν, ὡς αὐτή γε περιείληφε τὴν εἱμαρμένην.

9. Ἔστιν οὖν πρόνοια ἡ μὲν ἀνωτάτω καὶ πρώτη τοῦ πρώτου θεοῦ νόησις εἴτε καὶ βούλησις οὖσα εὐεργέτις ἁπάντων, καθ᾽ ἣν πρώτως ἕκαστα τῶν θείων διὰ παντὸς ἄριστά τε καὶ κάλλιστα κεκόσμηται, ἡ δὲ δευτέρα δευτέρων θεῶν τῶν κατ᾽ οὐρανὸν ἰόντων, | καθ᾽ ἣν τά τε **573** θνητὰ γίνεται τεταγμένως καὶ ὅσα πρὸς διαμονὴν καὶ σωτηρίαν ἑκάστων τῶν γενῶν, τρίτη δ᾽ ἂν εἰκότως ῥηθείη πρόνοιά τε καὶ προμήθεια τῶν ὅσοι περὶ γῆν δαίμονες τεταγμένοι τῶν ἀνθρωπίνων πράξεων φύλακές τε καὶ ἐπίσκοποί εἰσι. τριττῆς τοίνυν τῆς προνοίας θεωρουμένης, κυριώτατα δὲ καὶ μάλιστα τῆς πρώτης λεγομένης, οὐκ ἂν ὀκνήσαιμεν εἰπεῖν, εἰ καὶ φιλοσόφοις ἀνδράσι

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403544920/463 UNIVERSITÄT LEIPZIG